ἀλλ' ἴθι, δυσνίκητε, λαβὼν δ' ἔπι κοῦφα πέδιλα 4080
ἐκπέτασον ταχινὰς εἰς ἑτέρους πτέρυγας.

## VIII

τί ξένον, εἰ βροτολοιγὸς Ἔρως τὰ πυρίπνοα τόξα
βάλλει καὶ λαμυροῖς ὄμμασι πικρὰ γελᾷ;
οὐ μάτηρ στέργει μὲν Ἄρη, γαμέτις δὲ τέτυκται
Ἀφαίστου, κοινὰ καὶ πυρὶ καὶ ξίφεσι; 4085
ματρὸς δ' οὐ μάτηρ ἀνέμων μάστιξι Θάλασσα
τραχὺ βοᾷ, γενέτας δ' οὔτε τις οὔτε τινός;
τοὔνεκεν Ἀφαίστου μὲν ἔχει φλόγα, κύμασι δ' ὀργάν
στέρξεν ἴσαν, Ἄρεως δ' αἱματόφυρτα βέλη.

## IX

οὔ μοι παιδομανὴς κραδία· τί δὲ τερπνόν, Ἔρωτες, 4090
ἀνδροβατεῖν, εἰ μὴ δούς τι λαβεῖν ἐθέλοι;
ἁ χεὶρ γὰρ τὰν χεῖρα· †καλα μεν ειν παρακοιτις
ειν† πᾶς ἄρσην ἀρσενικαῖς λαβίσιν.

## X

αἰεί μοι δύνει μὲν ἐν οὔασιν ἦχος Ἔρωτος,
ὄμμα δὲ σῖγα Πόθοις τὸ γλυκὺ δάκρυ φέρει· 4095
οὐδ' ἡ νύξ, οὐ φέγγος ἐκοίμισεν, ἀλλ' ὑπὸ φίλτρων
ἤδη που κραδίᾳ γνωστὸς ἔνεστι τύπος.